ἐὰν οὖν μοι δι' ἐλευθερίας τὴν παρρησίαν χαρίσησθε, με-
τὰ πάσης ἀδείας κἀγὼ φράσω ἅπαντα τὰ ζητούμενα.
οἱ δὲ ὄχλοι πανπληθεί τε καὶ ὁμοθυμαδὸν ἔκραζον,
ἐλευθέρωσον ἀίσωπον, ὑπάκουσον σαμίοις, χάρισαι τῇ
πόλει τὴν ἐλευθερίαν. ὁ δὲ ξάνθος; οὐκ ἐλευθερῶ δοῦλον,
sic ἔφη, ὀλίγον μοι ἐκτατήσαντα χρόνον. ὁ δὲ πρύτανις ἔ-
φη, ἐὰν μὴ τῷ πλήθει ὑπακούσης, ποιήσω αὐτὸν ἐγὼ ἀπ-
ἐλεύθερον τῆς ἥρας, καὶ τότε ἔσται σοι ἰσότιμος. οἱ δὲ
φίλοι συμβουλεύοντες τῷ ξάνθῳ ἔλεγον, ἐλευθέρωσον αὐ-
τὸν σοί. ἐὰν γὰρ τῆς ἥρας ἀπελεύθερας γένηται, ἐλευθερι-
κὰ ἔχει δίκαια. καὶ ἔσται σοι ὁμοτίμιος. ἀναγκασθεὶς οὖν
ὁ ξάνθος, ἔδωκε τὴν ἐλευθερίαν. καὶ ὁ κηρύξ ἐβόα, ξάν-
θος δεξίκρατος καὶ φιλόσοφος σαμίοις ἀίσωπον ἐλευ-
θεροῖ. καὶ ἐπληρώθη τότε τοῦ αἰσώπου ῥῆμα, τὸ, ἄκων